μανίας, ἄναρθρός εἰμι κἀσθενῶ μέλη.
ΗΛ. ἰδού. φίλον τοι τῷ νοσοῦντι δέμνιον,
ἀνιαρὸν ὂν τὸ κτῆμ᾽, ἀναγκαῖον δ᾽ ὅμως.
ΟΡ. αὖθίς μ᾽ ἐς ὀρθὸν στῆσον, ἀνακύκλει δέμας·
δυσάρεστον οἱ νοσοῦντες ἀπορίας ὕπο.
ΗΛ. ἦ κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις,
χρόνιον ἴχνος θείς; μεταβολὴ πάντων γλυκύ.
ΟΡ. μάλιστα· δόξαν γὰρ τόδ᾽ ὑγιείας ἔχει.
κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.
ΗΛ. ἄκουε δὴ νῦν, ὦ κασίγνητον κάρα,
ἕως ἐῶσί σ᾽ εὖ φρονεῖν Ἐρινύες.
ΟΡ. λέξεις τι καινόν· κεἰ μὲν εὖ, χάριν φέρεις·
εἰ δ᾽ εἰς βλάβην τιν᾽, ἅλις ἔχω τὸ δυστυχεῖν.
ΗΛ. Μενέλαος ἥκει, σοῦ κασίγνητος πατρός,
ἐν Ναυπλίᾳ δὲ σέλμαθ᾽ ὥρμισται νεῶν.
ΟΡ. πῶς εἶπας; ἥκει φῶς ἐμοῖς καὶ σοῖς κακοῖς
ἀνὴρ ὁμογενὴς καὶ χάριτας ἔχων πατρός;
ΗΛ. ἥκει· τὸ πιστὸν τόδε λόγων ἐμῶν δέχου·
Ἑλένην ἀγόμενος Τρωικῶν ἐκ τειχέων.
ΟΡ. εἰ μόνος ἐσώθη, μᾶλλον ἂν ζηλωτὸς ἦν·
εἰ δ᾽ ἄλοχον ἄγεται, κακὸν ἔχων ἥκει μέγα.
ΗΛ. ἐπίσημον ἔτεκε Τυνδάρεως εἰς τὸν ψόγον
γένος θυγατέρων δυσκλεές τ᾽ ἀν᾽ Ἑλλάδα.
ΟΡ. σύ νυν διάφερε τῶν κακῶν· ἔξεστι γάρ·
καὶ μὴ μόνον λέγ᾽, ἀλλὰ καὶ φρόνει τάδε.
ΗΛ. οἴμοι, κασίγνητ᾽, ὄμμα σὸν ταράσσεται,
ταχὺς δὲ μετέθου λύσσαν, ἄρτι σωφρονῶν.
ΟΡ. ὦ μῆτερ, ἱκετεύω σε, μὴ ᾽πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας. 256
ΗΛ. μέν᾽, ὦ ταλαίπωρ᾽, ἀτρέμα σοῖς ἐν δεμνίοις· 258
ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ᾽ εἰδέναι.
ΟΡ. ὦ Φοῖβ᾽, ἀποκτενοῦσί μ᾽ αἱ κυνώπιδες

---

αὗται γὰρ αυται πλησίον θρώσκουσί μου. 257

---

236. κρεῖσσον γὰρ FC 238. ἐριννύες BF 240. τό AF τῷ B τοῦ ceteri. 242. ναυπλίῳ BFC 254. ταχύ AF